Κύρνε, παροῦσι φίλοισι κακοῦ καταπαύσομεν ἀρχήν,
ζητῶμεν δ᾽ ἕλκει φάρμακα φυομένωι.

᾽Ελπὶς ἐν ἀνθρώποισι μόνη θεὸς ἐσθλὴ ἔνεστιν,
ἄλλοι δ᾽ Οὔλυμπόν⟨δ᾽⟩ ἐκπρολιπόντες ἔβαν·
ὤιχετο μὲν Πίστις, μεγάλη θεός, ὤιχετο δ᾽ ἀνδρῶν
Σωφροσύνη, Χάριτές τ᾽, ὦ φίλε, γῆν ἔλιπον·
ὅρκοι δ᾽ οὐκέτι πιστοὶ ἐν ἀνθρώποισι δίκαιοι,
οὐδὲ θεοὺς οὐδεὶς ἅζεται ἀθανάτους.
εὐσεβέων δ᾽ ἀνδρῶν γένος ἔφθιτο, οὐδὲ θέμιστας
οὐκέτι γινώσκουσ᾽ οὐδὲ μὲν εὐσεβίας.
ἀλλ᾽ ὄφρα τις ζώει καὶ ὁρᾶι φῶς ἠελίοιο,
εὐσεβέων περὶ θεοὺς ᾽Ελπίδα προσμενέτω·
εὐχέσθω δὲ θεοῖσι, καὶ ἀγλαὰ μηρία καίων
᾽Ελπίδι τε πρώτηι καὶ πυμάτηι θυέτω.
φραζέσθω δ᾽ ἀδίκων ἀνδρῶν σκολιὸν λόγον αἰεί,
οἳ θεῶν ἀθανάτων οὐδὲν ὀπιζόμενοι
αἰὲν ἐπ᾽ ἀλλοτρίοις κτεάνοισ᾽ ἐπέχουσι νόημα,
αἰσχρὰ κακοῖσ᾽ ἔργοις σύμβολα θηκάμενοι.

Μήποτε τὸν παρεόντα μεθεὶς φίλον ἄλλον ἐρεύνα
δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.